θούμενον ὁρῶμεν. καὶ ὅτι μὲν βραχεῖα σοφῷ τύχη παρεμπίπτει [χαλκοτύπῳ τε καὶ οἰκοδόμῳ], τὰ δὲ πλεῖστα καὶ μέγιστα τῶν ἔργων αἱ τέχναι συντελοῦσι δι' αὐτῶν, καὶ οὗτος ὑποδεδήλωκε· (Soph. fr. 760)

'βᾶτ' εἰς ὁδὸν δὴ πᾶς ὁ χειρῶναξ λεώς,
οἳ τὴν Διὸς γοργῶπιν Ἐργάνην στατοῖς
λίκνοισι προστρέπεσθε'.

B τὴν γὰρ Ἐργάνην [καὶ τὴν Ἀθηνᾶν] αἱ τέχναι πάρεδρον, οὐ τὴν Τύχην ἔχουσιν. ἕνα μέντοι φασὶν ἵππον ζωγραφοῦντα τοῖς μὲν ἄλλοις κατορθοῦν εἴδεσι καὶ χρώμασι, τοῦ δ' ἀφροῦ τὴν περὶ τῷ χαλινῷ κοπτομένην χαυνότητα καὶ τὸ συνεκπίπτον ἆσθμα μὴ ἀρέσκειν ἑαυτῷ γράφοντα· πολλάκις γοῦν ἐξαλείφειν, τέλος δ' ὑπ' ὀργῆς προσβαλεῖν τῷ πίνακι τὸν σπόγγον ὥσπερ εἶχε τῶν φαρμάκων ἀνάπλεω, τὸν δὲ προσπεσόντα θαυμαστῶς ἐναπομάξαι καὶ ποιῆσαι τὸ δέον. τοῦτο ἔντεχνον τύχης μόνον ἱστορεῖται. Κανόσι καὶ στάθμαις καὶ μέτροις καὶ ἀριθμοῖς πανταχοῦ χρῶνται, ἵνα μηδαμοῦ τὸ εἰκῇ καὶ ὡς ἔτυχε τοῖς ἔργοις
C ἐγγένηται. καὶ μὴν αἱ τέχναι μικραί τινες εἶναι λέγονται φρονήσεις, μᾶλλον δ' ἀπόρροιαι φρονήσεως καὶ ἀποτρίμματα ἐνδιεσπαρμένα ταῖς χρείαις ⟨ταῖς⟩ περὶ τὸν βίον, ὥσπερ αἰνίττεται τὸ πῦρ ὑπὸ τοῦ Προμηθέως μερισθὲν ἄλλο ἄλλῃ δια-